Il.15.1 Αὐτὰρ ἐπεὶ διά τε σκόλοπας καὶ τάφρον ἔβησαν
Il.15.2 φεύγοντες, πολλοὶ δὲ δάμεν Δαναῶν ὑπὸ χερσίν,
Il.15.3 οἳ μὲν δὴ παρ᾽ ὄχεσφιν ἐρητῡ́οντο μένοντες
Il.15.4 χλωροὶ ὑπαὶ δείους πεφοβημένοι· ἔγρετο δὲ Ζεὺς
Il.15.5 Ἴδης ἐν κορυφῇσι παρὰ χρῡσοθρόνου Ἥρης,
Il.15.6 στῆ δ᾽ ἄρ᾽ ἀνα̯ΐξᾱς, ἴδε δὲ Τρῶας καὶ Ἀχαιοὺς
Il.15.7 τοὺς μὲν ὀρῑνομένους, τοὺς δὲ κλονέοντας ὄπισθεν
Il.15.8 Ἀργείους, μετὰ δέ σφι Ποσειδᾱ́ωνα ἄνακτα·
Il.15.9 Ἕκτορα δ᾽ ἐν πεδίῳ ἴδε κείμενον, ἀμφὶ δ᾽ ἑταῖροι
Il.15.10 εἵαθ᾽, ὃ δ᾽ ἀργαλέῳ ἔχετ᾽ ἄσθματι κῆρ ἀπινύσσων
Il.15.11 αἷμ᾽ ἐμέων, ἐπεὶ οὔ μιν ἀφαυρότατος βάλ᾽ Ἀχαιῶν.
Il.15.12 Τὸν δὲ ἰδὼν ἐλέησε πατὴρ ἀνδρῶν τε θεῶν τε,
Il.15.13 δεινὰ δ᾽ ὑπόδρα ἰδὼν Ἥρην πρὸς μῦθον ἔειπεν·
Il.15.14 ἦ μάλα δὴ κακότεχνος ἀμήχανε σὸς δόλος Ἥρη
Il.15.15 Ἕκτορα δῖον ἔπαυσε μάχης, ἐφόβησε δὲ λᾱούς.
Il.15.16 Οὐ μᾶν οἶδ᾽ εἰ αὖτε κακορραφίης ἀλεγεινῆς
Il.15.17 πρώτη ἐπαύρηαι καί σε πληγῇσιν ἱμάσσω.
Il.15.18 Ἦ͜ οὐ μέμνῃ ὅτε τ᾽ ἐκρέμω ὑψόθεν, ἐκ δὲ ποδοῖιν
Il.15.19 ἄκμονας ἧκα δύω, περὶ χερσὶ δὲ δεσμὸν ἴηλα
Il.15.20 χρῡ́σεον ἄρρηκτον; Σὺ δ᾽ ἐν αἰθέρι καὶ νεφέλῃσιν
Il.15.21 ἐκρέμω· ἠλάστε͜ον δὲ θεοὶ κατὰ μακρὸν Ὄλυμπον,
Il.15.22 λῦσαι δ᾽ οὐκ ἐδύναντο παρασταδόν· ὃν δὲ λάβοιμι
Il.15.23 ῥίπτασκον τεταγὼν ἀπὸ βηλοῦ ὄφρ᾽ ἂν ἵκηται
Il.15.24 γῆν ὀλιγηπελέων· ἐμὲ δ᾽ οὐδ᾽ ὧς θῡμὸν ἀνῑ́ει
Il.15.25 ἀζηχὴς ὀδύνη Ἡρακλῆος θείοιο,
Il.15.26 τὸν σὺ ξὺν Βορέῃ ἀνέμῳ πεπιθοῦσα θυέλλας
Il.15.27 πέμψας ἐπ᾽ ἀτρύγετον πόντον κακὰ μητιόωσα,
Il.15.28 καί μιν ἔπειτα Κόων δ᾽ εὖ ναιομένην ἀπένεικας.
Il.15.29 Τὸν μὲν ἐγὼν ἔνθεν ῥυσάμην καὶ ἀνήγαγον αὖτις
Il.15.30 Ἄργος ἐς ἱππόβοτον καὶ πολλά περ ἀθλήσαντα.

Il.15.31 Τῶν σ᾽ αὖτις μνήσω ἵν᾽ ἀπολλήξῃς ἀπατάων,
Il.15.32 ὄφρα ἴδῃ ἤν τοι χραίσμῃ φιλότης τε καὶ εὐνή,
Il.15.33 ἣν ἐμίγης ἐλθοῦσα θεῶν ἄπο καί μ᾽ ἀπάτησας.
Il.15.34 Ὣς φάτο, ῥίγησεν δὲ βοῶπις πότνια Ἥρη,
Il.15.35 καί μιν φωνήσᾱσ᾽ ἔπεα πτερόεντα προσηύδᾱ·
Il.15.36 ἴστω νῦν τόδε Γαῖα καὶ Οὐρανὸς εὐρὺς ὕπερθε
Il.15.37 καὶ τὸ κατειβόμενον Στυγὸς ὕ̱δωρ, ὅς τε μέγιστος
Il.15.38 ὅρκος δεινότατός τε πέλει μακάρεσσι θεοῖσι,
Il.15.39 σή θ᾽ ἱερὴ κεφαλὴ καὶ νωΐτερον λέχος αὐτῶν
Il.15.40 κουρίδιον, τὸ μὲν οὐκ ἂν ἐγώ ποτε μὰψ ὀμόσαιμι·
Il.15.41 μὴ δι᾽ ἐμὴν ἰότητα Ποσειδάων ἐνοσίχθων
Il.15.42 πημαίνει Τρῶάς τε καὶ Ἕκτορα, τοῖσι δ᾽ ἀρήγει,
Il.15.43 ἀλλά που αὐτὸν θῡμὸς ἐποτρῡ́νει καὶ ἀνώγει,
Il.15.44 τειρομένους δ᾽ ἐπὶ νηυσὶν ἰδὼν ἐλέησεν Ἀχαιούς.
Il.15.45 Αὐτάρ τοι καὶ κείνῳ ἐγὼ παραμῡθησαίμην
Il.15.46 τῇ ἴμεν ᾗ κεν δὴ σὺ κελαινεφὲς ἡγεμονεύῃς.
Il.15.47 Ὣς φάτο, μείδησεν δὲ πατὴρ ἀνδρῶν τε θεῶν τε,
Il.15.48 καί μιν ἀμειβόμενος ἔπεα πτερόεντα προσηύδᾱ·
Il.15.49 εἰ μὲν δὴ σύ γ᾽ ἔπειτα βοῶπις πότνια Ἥρη
Il.15.50 ἶσον ἐμοὶ φρονέουσα μετ᾽ ἀ̱θανάτοισι καθίζοις,
Il.15.51 τώ κε Ποσειδάων γε, καὶ εἰ μάλα βούλεται ἄλλῃ,
Il.15.52 αἶψα μεταστρέψειε νόον μετὰ σὸν καὶ ἐμὸν κῆρ.
Il.15.53 Ἀλλ᾽ εἰ δή ῥ᾽ ἐτεόν γε καὶ ἀτρεκέως ἀγορεύεις,
Il.15.54 ἔρχεο νῦν μετὰ φῦλα θεῶν, καὶ δεῦρο κάλεσσον
Il.15.55 Ἶρίν τ᾽ ἐλθέμεναι καὶ Ἀπόλλωνα κλυτότοξον,
Il.15.56 ὄφρ᾽ ἣ μὲν μετὰ λᾱὸν Ἀχαιῶν χαλκοχιτώνων
Il.15.57 ἔλθῃ, καὶ εἴπῃσι Ποσειδάωνι ἄνακτι
Il.15.58 παυσάμενον πολέμοιο τὰ ἃ πρὸς δώμαθ᾽ ἱκέσθαι,
Il.15.59 Ἕκτορα δ᾽ ὀτρῡ́νῃσι μάχην ἐς Φοῖβος Ἀπόλλων,
Il.15.60 αὖτις δ᾽ ἐμπνεύσῃσι μένος, λελάθῃ δ᾽ ὀδυνάων

Il.15.61 αἳ νῦν μιν τείρουσι κατὰ φρένας, αὐτὰρ Ἀχαιοὺς
Il.15.62 αὖτις ἀποστρέψῃσιν ἀνάλκιδα φύζαν ἐνόρσᾱς,
Il.15.63 φεύγοντες δ’ ἐν νηυσὶ πολυκλήϊσι πέσωσι
Il.15.64 Πηλεΐδε͜ω Ἀχιλῆος· ὃ δ’ ἀνστήσει ὃν ἑταῖρον
Il.15.65 Πάτροκλον· τὸν δὲ κτενεῖ ἔγχεϊ φαίδιμος Ἕκτωρ
Il.15.66 Ἰλί̯ου προπάροιθε πολέ͜ας ὀλέσαντ’ αἰζηοὺς
Il.15.67 τοὺς ἄλλους, μετὰ δ’ υἱὸν ἐμὸν Σαρπηδόνα δῖον.
Il.15.68 Τοῦ δὲ χολωσάμενος κτενεῖ Ἕκτορα δῖος Ἀχιλλεύς.
Il.15.69 Ἐκ τοῦ δ’ ἄν τοι ἔπειτα παλῐ́ωξιν παρὰ νηῶν
Il.15.70 αἰὲν ἐγὼ τεύχοιμι διαμπερὲς εἰς ὅ κ’ Ἀχαιοὶ
Il.15.71 Ἴλιον αἰπὺ ἕλοιεν Ἀθηναίης διὰ βουλᾱ́ς.
Il.15.72 Τὸ πρὶν δ’ οὔτ’ ἄρ’ ἐγὼ παύω χόλον οὔτέ τιν’ ἄλλον
Il.15.73 ᾰ̓θανάτων Δαναοῖσιν ἀμῡνέμεν ἐνθάδ’ ἐᾱ́σω
Il.15.74 πρίν γε τὸ Πηλεΐδᾱο τελευτηθῆναι ἐέλδωρ,
Il.15.75 ὥς οἱ ὑπέστην πρῶτον, ἐμῷ δ’ ἐπένευσα κάρητι,
Il.15.76 ἤματι τῷ ὅτ’ ἐμεῖο θεᾱ̀ Θέτις ἥψατο γούνων,
Il.15.77 λισσομένη τῑμῆσαι Ἀχιλλῆα πτολίπορθον.
Il.15.78 Ὣς ἔφατ’, οὐδ’ ἀπίθησε θεᾱ̀ λευκώλενος Ἥρη,
Il.15.79 βῆ δ’ ἐξ Ἰδαίων ὀρέων ἐς μακρὸν Ὄλυμπον.
Il.15.80 Ὡς δ’ ὅτ’ ἂν ᾱ̓ΐξῃ νόος ᾰ̓νέρος, ὅς τ’ ἐπὶ πολλὴν
Il.15.81 γαῖαν ἐληλουθὼς φρεσὶ πευκαλίμῃσι νοήσῃ
Il.15.82 ἔνθ’ εἴην ἢ ἔνθα, μενοινήῃσί τε πολλά,
Il.15.83 ὣς κραιπνῶς μεμαυῖα διέπτατο πότνια Ἥρη·
Il.15.84 ῑ̔́κετο δ’ αἰπὺν Ὄλυμπον, ὁμηγερέεσσι δ’ ἐπῆλθεν
Il.15.85 ᾰ̓θανάτοισι θεοῖσι Διὸς δόμῳ· οἳ δὲ ἰδόντες
Il.15.86 πάντες ἀνήϊξαν καὶ δεικανόωντο δέπασσιν.
Il.15.87 Ἣ δ’ ἄλλους μὲν ἔᾱσε, Θέμιστι δὲ καλλιπαρῄῳ
Il.15.88 δέκτο δέπας· πρώτη γὰρ ἐναντίη ἦλθε θέουσα,
Il.15.89 καί μιν φωνήσᾱσ’ ἔπεα πτερόεντα προσηύδᾱ·
Il.15.90 Ἥρη τίπτε βέβηκας; Ἀτυζομένῃ δὲ ἔοικας·

Il.15.91 ἦ μάλα δή σ' ἐφόβησε Κρόνου πάϊς, ὅς τοι ἀκοίτης.
Il.15.92 Τὴν δ' ἠμείβετ' ἔπειτα θεᾱ̀ λευκώλενος Ἥρη·
Il.15.93 μή με θεᾱ̀ Θέμι ταῦτα διείρεο· οἶσθα καὶ αὐτὴ
Il.15.94 οἷος κείνου θῡμὸς ὑπερφίαλος καὶ ἀπηνής.
Il.15.95 Ἀλλὰ σύ γ' ἄρχε θεοῖσι δόμοις ἔνι δαιτὸς ἐΐσης·
Il.15.96 ταῦτα δὲ καὶ μετὰ πᾶσιν ἀκούσεαι ᾱ̓θανάτοισιν
Il.15.97 οἷα Ζεὺς κακὰ ἔργα πιφαύσκεται· οὐδέ τί φημι
Il.15.98 πᾶσιν ὁμῶς θῡμὸν κεχαρησέμεν, οὔτε βροτοῖσιν
Il.15.99 οὔτε θεοῖς, εἴ πέρ τις ἔτι νῦν δαίνυται εὔφρων.
Il.15.100 Ἣ μὲν ἄρ' ὣς εἰποῦσα καθέζετο πότνια Ἥρη,
Il.15.101 ὄχθησαν δ' ἀνὰ δῶμα Διὸς θεοί· ἣ δ' ἐγέλασσε
Il.15.102 χείλεσιν, οὐδὲ μέτωπον ἐπ' ὀφρύσι κῡανέῃσιν
Il.15.103 ἰ̄άνθη· πᾶσιν δὲ νεμεσσηθεῖσα μετηύδᾱ·
Il.15.104 νήπιοι οἳ Ζηνὶ μενεαίνομεν ἀφρονέοντες·
Il.15.105 ἦ ἔτι μιν μέμαμεν καταπαυσέμεν ἆσσον ἰόντες
Il.15.106 ἢ ἔπει ἠὲ βίῃ· ὃ δ' ἀφήμενος οὐκ ἀλεγίζει
Il.15.107 οὐδ' ὄθεται· φησὶν γὰρ ἐν ᾱ̓θανάτοισι θεοῖσι
Il.15.108 κάρτεΐ τε σθένεΐ τε διακριδὸν εἶναι ἄριστος.
Il.15.109 Τὼ ἔχεθ' ὅττι κεν ὔμμι κακὸν πέμπῃσιν ἑκάστῳ.
Il.15.110 Ἤδη γὰρ νῦν ἔλπομ' Ἄρηΐ γε πῆμα τετύχθαι·
Il.15.111 υἱὸς γάρ οἱ ὄλωλε μάχῃ ἔνι φίλτατος ἀνδρῶν
Il.15.112 Ἀσκάλαφος, τόν φησιν ὃν ἔμμεναι ὄβριμος Ἄ̱ρης.
Il.15.113 Ὣς ἔφατ', αὐτὰρ Ἄρης θαλερὼ πεπλήγετο μηρὼ
Il.15.114 χερσὶ καταπρηνέσσ', ὀλοφῡρόμενος δ' ἔπος ηὔδᾱ·
Il.15.115 μὴ νῦν μοι νεμεσήσετ' Ὀλύμπια δώματ' ἔχοντες
Il.15.116 τῑ́σασθαι φόνον υἷος ἰόντ' ἐπὶ νῆας Ἀχαιῶν,
Il.15.117 εἴ πέρ μοι καὶ μοῖρα Διὸς πληγέντι κεραυνῷ
Il.15.118 κεῖσθαι ὁμοῦ νεκύεσσι μεθ' αἵματι καὶ κονίῃσιν.
Il.15.119 Ὣς φάτο, καί ῥ' ἵππους κέλετο̱ Δεῖμόν τε Φόβον τε
Il.15.120 ζευγνύμεν, αὐτὸς δ' ἔντε' ἐδῡ́σετο παμφανόωντα.

Il.15.121 Ἔνθά κ’ ἔτι μείζων τε καὶ ἀργαλεώτερος ἄλλος
Il.15.122 πὰρ Διὸς ἀ̱θανάτοισι χόλος καὶ μῆνις ἐτύχθη,
Il.15.123 εἰ μὴ Ἀθήνη πᾶσι περι̱δείσᾱσα θεοῖσιν
Il.15.124 ὦρτο διὲκ προθύρου, λίπε δὲ θρόνον ἔνθα θάασσε,
Il.15.125 τοῦ δ’ ἀπὸ μὲν κεφαλῆς κόρυθ’ εἵλετο καὶ σάκος ὤμων,
Il.15.126 ἔγχος δ’ ἔστησε στιβαρῆς ἀπὸ χειρὸς ἑλοῦσα
Il.15.127 χάλκεον· ἣ δ’ ἐπέεσσι καθάπτετο θοῦρον Ἄρηα·
Il.15.128 μαινόμενε φρένας ἠλὲ διέφθορας· ἦ νύ τοι αὔτως
Il.15.129 οὔατ’ ἀκουέμεν ἐστί, νόος δ’ ἀπόλωλε καὶ αἰδώς.
Il.15.130 Οὐκ ἀΐεις ἅ τέ φησι θεᾱ̀ λευκώλενος Ἥρη
Il.15.131 ἣ δὴ νῦν πὰρ Ζηνὸς Ὀλυμπίου εἰλήλουθεν;
Il.15.132 Ἦ ἐθέλεις αὐτὸς μὲν ἀναπλήσᾱς κακὰ πολλὰ
Il.15.133 ἂψ ἴμεν Οὔ̱λυμπον δὲ καὶ ἀχνύμενός περ ἀνάγκῃ,
Il.15.134 αὐτὰρ τοῖς ἄλλοισι κακὸν μέγα πᾶσι φυτεῦσαι;
Il.15.135 Αὐτίκα γὰρ Τρῶας μὲν ὑπερθῡ́μους καὶ Ἀχαιοὺς
Il.15.136 λείψει, ὃ δ’ ἡμέας εἶσι κυδοιμήσων ἐς Ὄλυμπον,
Il.15.137 μάρψει δ’ ἑξείης ὅς τ’ αἴτιος ὅς τε καὶ οὐκί.
Il.15.138 Τώ σ’ αὖ νῦν κέλομαι μεθέμεν χόλον υἷος ἑῆος·
Il.15.139 ἤδη γάρ τις τοῦ γε βίην καὶ χεῖρας ἀμείνων
Il.15.140 ἢ πέφατ’, ἢ καὶ ἔπειτα πεφήσεται· ἀργαλέον δὲ
Il.15.141 πάντων ἀνθρώπων ῥῦσθαι γενεήν τε τόκον τε.
Il.15.142 Ὣς εἰποῦσ’ ἵ̄δρῡσε θρόνῳ ἔνι θοῦρον Ἄρηα.
Il.15.143 Ἥρη δ’ Ἀ̱πόλλωνα καλέσσατο δώματος ἐκτὸς
Il.15.144 Ἶρίν θ’, ἥ τε θεοῖσι μετάγγελος ἀ̱θανάτοισι,
Il.15.145 καί σφε̱α̱ς φωνήσᾱσ’ ἔπεα πτερόεντα προσηύδᾱ·
Il.15.146 Ζεὺς σφὼ εἰς Ἴδην κέλετ’ ἐλθέμεν ὅττι τάχιστα·
Il.15.147 αὐτὰρ ἐπὴν ἔλθητε, Διός τ’ εἰς ὦπα ἴδησθε,
Il.15.148 ἔρδειν ὅττι κε κεῖνος ἐποτρῡ́νῃ καὶ ἀνώγῃ.
Il.15.149 Ἣ μὲν ἄρ’ ὣς εἰποῦσα πάλιν κίε πότνια Ἥρη,
Il.15.150 ἕζετο δ’ εἰνὶ θρόνῳ· τὼ δ’ ἀ̱ΐξαντε πετέσθην.

Il.15.151 Ἴδην δ᾽ ἵκᾱνον πολυπίδακα μητέρα θηρῶν,
Il.15.152 εὗρον δ᾽ εὐρύοπα Κρονίδην ἀνὰ Γαργάρῳ ἄκρῳ
Il.15.153 ἥμενον· ἀμφὶ δέ μιν θυόεν νέφος ἐστεφάνωτο.
Il.15.154 Τὼ δὲ πάροιθ᾽ ἐλθόντε Διὸς νεφεληγερέτᾱο
Il.15.155 στήτην· οὐδέ σφωϊν ἰδὼν ἐχολώσατο θῡμῷ,
Il.15.156 ὅττι οἱ ὦκ᾽ ἐπέεσσι φίλης ἀλόχοιο πιθέσθην.
Il.15.157 Ἶριν δὲ προτέρην ἔπεα πτερόεντα προσηύδᾱ·
Il.15.158 βάσκ᾽ ἴθι Ἶρι ταχεῖα, Ποσειδᾱ́ωνι ἄνακτι
Il.15.159 πάντα τάδ᾽ ἀγγεῖλαι, μὴ δὲ ψευδάγγελος εἶναι.
Il.15.160 Παυσάμενόν μιν ἄνωχθι μάχης ἠδὲ πτολέμοιο
Il.15.161 ἔρχεσθαι μετὰ φῦλα θεῶν ἢ εἰς ἅλα δῖαν.
Il.15.162 Εἰ δέ μοι οὐκ ἐπέεσσ᾽ ἐπιπείσεται, ἀλλ᾽ ἀλογήσει,
Il.15.163 φραζέσθω δὴ ἔπειτα κατὰ φρένα καὶ κατὰ θῡμὸν
Il.15.164 μή μ᾽ οὐδὲ κρατερός περ ἐὼν ἐπιόντα ταλάσσῃ
Il.15.165 μεῖναι, ἐπεί εὑ φημὶ βίῃ πολὺ φέρτερος εἶναι
Il.15.166 καὶ γενεῇ πρότερος· τοῦ δ᾽ οὐκ ὄθεται φίλον ἦτορ
Il.15.167 ἶσον ἐμοὶ φάσθαι, τόν τε στυγέουσι καὶ ἄλλοι.
Il.15.168 Ὣς ἔφατ᾽, οὐδ᾽ ἀπίθησε ποδήνεμος ὠκέα Ἶρις,
Il.15.169 βῆ δὲ κατ᾽ Ἰδαίων ὀρέων εἰς Ἴλιον ἱρήν.
Il.15.170 Ὡς δ᾽ ὅτ᾽ ἂν ἐκ νεφέων πτῆται νιφὰς ἠὲ χάλαζα
Il.15.171 ψῡχρὴ ὑπὸ ῥῑπῆς αἰθρηγενέος Βορέᾱο,
Il.15.172 ὣς κραιπνῶς μεμαυῖα διέπτατο ὠκέα Ἶρις,
Il.15.173 ἀγχοῦ δ᾽ ἱσταμένη προσέφη κλυτὸν ἐννοσίγαιον·
Il.15.174 ἀγγελίην τινά τοι γαιήοχε κῡανοχαῖτα
Il.15.175 ἦλθον δεῦρο φέρουσα παραὶ Διὸς αἰγιόχοιο.
Il.15.176 Παυσάμενόν σ᾽ ἐκέλευσε μάχης ἠδὲ πτολέμοιο
Il.15.177 ἔρχεσθαι μετὰ φῦλα θεῶν ἢ εἰς ἅλα δῖαν.
Il.15.178 Εἰ δέ οἱ οὐκ ἐπέεσσ᾽ ἐπιπείσεαι, ἀλλ᾽ ἀλογήσεις,
Il.15.179 ἠπείλει καὶ κεῖνος ἐναντίβιον πολεμίξων
Il.15.180 ἐνθάδ᾽ ἐλεύσεσθαι· σὲ δ᾽ ὑπεξαλέασθαι ἄνωγε

Il.15.181 χεῖρας, ἐπεὶ σέο φησὶ βίῃ πολὺ φέρτερος εἶναι
Il.15.182 καὶ γενεῇ πρότερος· σὸν δ᾽ οὐκ ὄθεται φίλον ἦτορ
Il.15.183 ἶσο̱ν οἱ φάσθαι, τόν τε στυγέουσι καὶ ἄλλοι.
Il.15.184 Τὴν δὲ μέγ᾽ ὀχθήσᾱς προσέφη κλυτὸς ἐννοσίγαιος·
Il.15.185 ὢ πόποι ἦ ῥ᾽ ἀγαθός περ ἐὼν ὑπέροπλον ἔειπεν
Il.15.186 εἴ μ᾽ ὁμότῑμον ἐόντα βίῃ ἀέκοντα καθέξει.
Il.15.187 Τρεῖς γάρ τ᾽ ἐκ Κρόνου εἰμὲν ἀδελφεοὶ οὓς τέκετο Ῥέα̱
Il.15.188 Ζεὺς καὶ ἐγώ, τρίτατος δ᾽ Ἀΐδης ἐνέροισιν ἀνάσσων.
Il.15.189 Τριχθὰ δὲ πάντα δέδασται, ἕκαστος δ᾽ ἔμμορε τῑμῆς·
Il.15.190 ἤτοι ἐγὼν ἔλαχον πολιὴν ἅλα ναιέμεν αἰεὶ
Il.15.191 παλλομένων, Ἀΐδης δ᾽ ἔλαχε ζόφον ἠερόεντα,
Il.15.192 Ζεὺς δ᾽ ἔλαχ᾽ οὐρανὸν εὐρὺν ἐν αἰθέρι καὶ νεφέλῃσι·
Il.15.193 γαῖα δ᾽ ἔτι ξῡνὴ πάντων καὶ μακρὸς Ὄλυμπος.
Il.15.194 Τώ ῥα καὶ οὔ τι Διὸς βέομαι φρεσίν, ἀλλὰ ἕκηλος
Il.15.195 καὶ κρατερός περ ἐὼν μενέτω τριτάτῃ ἐνὶ μοίρῃ.
Il.15.196 Χερσὶ δὲ μή τί με πάγχυ κακὸν ὣς δειδισσέσθω·
Il.15.197 θῡγατέρεσσιν γάρ τε καὶ υἱάσι βέλτερον εἴη
Il.15.198 ἐκπάγλοις ἐπέεσσιν ἐνισσέμεν οὓς τέκεν αὐτός,
Il.15.199 οἵ ἑθεν ὀτρῡ́νοντος ἀκούσονται καὶ ἀνάγκῃ.
Il.15.200 Τὸν δ᾽ ἠμείβετ᾽ ἔπειτα ποδήνεμος ὠκέα Ἶρις·
Il.15.201 οὕτω γὰρ δή τοι γαιήοχε κῡανοχαῖτα
Il.15.202 τόνδε φέρω Διὶ μῦθον ἀπηνέα τε κρατερόν τε,
Il.15.203 ἦ τι μεταστρέψεις; Στρεπταὶ μέν τε φρένες ἐσθλῶν.
Il.15.204 Οἶσθ᾽ ὡς πρεσβυτέροισιν Ἐρῑνύες αἰὲν ἕπονται.
Il.15.205 Τὴν δ᾽ αὖτε προσέειπε Ποσειδᾱ́ων ἐνοσίχθων·
Il.15.206 Ἶρι θεᾱ̀ μάλα τοῦτο ἔπος κατὰ μοῖραν ἔειπες·
Il.15.207 ἐσθλὸν καὶ τὸ τέτυκται ὅτ᾽ ἄγγελος αἴσιμα εἰδῇ.
Il.15.208 Ἀλλὰ τόδ᾽ αἰνὸν ἄχος κραδίην καὶ θῡμὸν ἱκᾱ́νει
Il.15.209 ὁππότ᾽ ἂν ἰ̄σόμορον καὶ ὁμῇ πεπρωμένον αἴσῃ
Il.15.210 νεικείειν ἐθέλῃσι χολωτοῖσιν ἐπέεσσιν.

Il.15.211 Ἀλλ᾽ ἤτοι νῦν μέν κε νεμεσσηθεὶς ὑποείξω·

Il.15.212 ἄλλο δέ τοι ἐρέω, καὶ ἀπειλήσω τό γε θῡμῷ·

Il.15.213 αἴ κεν ἄνευ ἐμέθεν καὶ Ἀθηναίης ἀγελείης

Il.15.214 Ἥρης Ἑρμείω τε καὶ Ἡφαίστοιο ἄνακτος

Il.15.215 Ἰλίου αἰπεινῆς πεφιδήσεται, οὐδ᾽ ἐθελήσει

Il.15.216 ἐκπέρσαι, δοῦναι δὲ μέγα κράτος Ἀργείοισιν,

Il.15.217 ἴστω τοῦθ᾽ ὅτι νῶϊν ἀνήκεστος χόλος ἔσται.

Il.15.218 Ὣς εἰπὼν λίπε λᾱὸν Ἀχαιϊκὸν ἐννοσίγαιος,

Il.15.219 δῦνε δὲ πόντον ἰών, πόθεσαν δ᾽ ἥρωες Ἀχαιοί.

Il.21.383 Αὐτὰρ ἐπεὶ Ξάνθοιο δάμη μένος, οἱ μὲν ἔπειτα

Il.21.384 παυσάσθην, Ἥρη γὰρ ἐρῡ́κακε χωομένη περ·

Il.21.385 ἐν δ᾽ ἄλλοισι θεοῖσιν ἔρις πέσε βεβρῑθυῖα

Il.21.386 ἀργαλέη, δίχα δέ σφιν ἐνὶ φρεσὶ θῡμὸς ἄητο·

Il.21.387 σὺν δ᾽ ἔπεσον μεγάλῳ πατάγῳ, βράχε δ᾽ εὐρεῖα χθών,

Il.21.388 ἀμφὶ δὲ σάλπιγξεν μέγας οὐρανός. ἆϊε δὲ Ζεὺς

Il.21.389 ἥμενος Οὐ̱λύμπῳ· ἐγέλασσε δέ οἱ φίλον ἦτορ

Il.21.390 γηθοσύνῃ, ὅθ᾽ ὁρᾶτο θεοὺς ἔριδι ξυνιόντας.

Il.21.391 Ἔνθ᾽ οἵ γ᾽ οὐκέτι δηρὸν ἀφέστασαν· ἦρχε γὰρ Ἄ̱ρης

Il.21.392 ῥῑνοτόρος, καὶ πρῶτος Ἀθηναίῃ ἐπόρουσε

Il.21.393 χάλκεον ἔγχος ἔχων, καὶ ὀνείδειον φάτο μῦθον·

Il.21.394 τίπτ᾽ αὖτ᾽ ὦ κυνάμυια θεοὺς ἔριδι ξυνελαύνεις

Il.21.395 θάρσος ἄητον ἔχουσα, μέγας δέ σε θῡμὸς ἀνῆκεν;

Il.21.396 Ἦ οὐ μέμνῃ ὅτε Τῡδεΐδην Διομήδε᾽ ἀνῆκας

Il.21.397 οὐτάμεναι, αὐτὴ δὲ πανόψιον ἔγχος ἑλοῦσα

Il.21.398 ἰθὺς ἐμεῦ ὦσας, διὰ δὲ χρόα κᾱλὸν ἔδαψας;

Il.21.399 Τώ σ᾽ αὖ νῦν ὀΐω ἀποτῑσέμεν ὅσσα ἔοργας.

Il.21.400 Ὣς εἰπὼν οὔτησε κατ᾽ αἰγίδα θυσσανόεσσαν

Il.21.401 σμερδαλέην, ἣν οὐδὲ Διὸς δάμνησι κεραυνός·

Il.21.402 τῇ μιν Ἄρης οὔτησε μιαιφόνος ἔγχεϊ μακρῷ.

Il.21.403 Ἣ δ’ ἀναχασσαμένη λίθον εἵλετο χειρὶ παχείῃ
Il.21.404 κείμενον ἐν πεδίῳ μέλανα τρηχύν τε μέγαν τε,
Il.21.405 τόν ῥ’ ἄνδρες πρότεροι θέσαν ἔμμεναι οὖρον ἀρούρης·
Il.21.406 τῷ βάλε θοῦρον Ἄρηα κατ’ αὐχένα, λῦσε δὲ γυῖα.
Il.21.407 Ἑπτὰ δ’ ἐπέσχε πέλεθρα πεσών, ἐκόνῑσε δὲ χαίτᾱς,
Il.21.408 τεύχεά τ’ ἀμφαράβησε· γέλασσε δὲ Παλλὰς Ἀθήνη,
Il.21.409 καί οἱ ἐπευχομένη ἔπεα πτερόεντα προσηύδᾱ·
Il.21.410 νηπύτι’ οὐδέ νύ πώ περ ἐπεφράσω ὅσσον ἀρείων
Il.21.411 εὔχομ’ ἐγὼν ἔμεναι, ὅτι μοι μένος ἶσοφαρίζεις.
Il.21.412 Οὕτω κεν τῆς μητρὸς ἐρῑνύας ἐξαποτῑ́νοις,
Il.21.413 ἥ τοι χωομένη κακὰ μήδεται οὕνεκ’ Ἀχαιοὺς
Il.21.414 κάλλιπες, αὐτὰρ Τρωσὶν ὑπερφιάλοισιν ἀμῡ́νεις.
Il.21.415 Ὣς ἄρα φωνήσᾱσα πάλιν τρέπεν ὄσσε φαεινώ·
Il.21.416 τὸν δ’ ἄγε χειρὸς ἑλοῦσα Διὸς θυγάτηρ Ἀφροδῑ́τη
Il.21.417 πυκνὰ μάλα στενάχοντα· μόγις δ’ ἐσαγείρετο θῡμόν.
Il.21.418 Τὴν δ’ ὡς οὖν ἐνόησε θεᾱ̀ λευκώλενος Ἥρη,
Il.21.419 αὐτίκ’ Ἀθηναίην ἔπεα πτερόεντα προσηύδᾱ·
Il.21.420 ὢ πόποι αἰγιόχοιο Διὸς τέκος Ἀτρῡτώνη
Il.21.421 καὶ δ’ αὖθ’ ἡ κυνάμυια ἄγει βροτολοιγὸν Ἄρηα
Il.21.422 δηΐου ἐκ πολέμοιο κατὰ κλόνον· ἀλλὰ μέτελθε.
Il.21.423 Ὣς φάτ’, Ἀθηναίη δὲ μετέσσυτο, χαῖρε δὲ θῡμῷ,
Il.21.424 καί ῥ’ ἐπιεισαμένη πρὸς στήθεα χειρὶ παχείῃ
Il.21.425 ἤλασε· τῆς δ’ αὐτοῦ λύτο γούνατα καὶ φίλον ἦτορ.
Il.21.426 Τὼ μὲν ἄρ’ ἄμφω κεῖντο ἐπὶ χθονὶ πουλυβοτείρῃ,
Il.21.427 ἣ δ’ ἄρ’ ἐπευχομένη ἔπεα πτερόεντ’ ἀγόρευε·
Il.21.428 τοιοῦτοι νῦν πάντες ὅσοι Τρώεσσιν ἀρωγοὶ
Il.21.429 εἶεν, ὅτ’ Ἀργείοισι μαχοίατο θωρηκτῇσιν,
Il.21.430 ὧδέ τε θαρσαλέοι καὶ τλήμονες, ὡς Ἀφροδῑ́τη
Il.21.431 ἦλθεν Ἄρῃ ἐπίκουρος ἐμῷ μένει ἀντιόωσα·
Il.21.432 τώ κεν δὴ πάλαι ἄμμες ἐπαυσάμεθα πτολέμοιο

Il.21.433 Ἰλίου ἐκπέρσαντες ἐϋκτίμενον πτολίεθρον.
Il.21.434 Ὣς φάτο, μείδησεν δὲ θεᾱ̀ λευκώλενος Ἥρη.
Il.21.435 Αὐτὰρ Ἀπόλλωνα προσέφη κρείων ἐνοσίχθων·
Il.21.436 Φοῖβε τί ἢ δὴ νῶϊ διέσταμεν; Οὐδὲ ἔοικεν
Il.21.437 ἀρξάντων ἑτέρων· τὸ μὲν αἴσχιον αἴ κ᾽ ἀμαχητὶ
Il.21.438 ἴ̣ομεν Οὔ̱λυμπον δὲ Διὸς ποτὶ χαλκοβατὲς δῶ.
Il.21.439 Ἄρχε· σὺ γὰρ γενεῆφι νεώτερος· οὐ γὰρ ἔμοιγε
Il.21.440 κᾱλόν, ἐπεὶ πρότερος γενόμην καὶ πλείονα οἶδα.
Il.21.441 Νηπύτι᾽ ὡς ἄνοον κραδίην ἔχες· οὐδέ νυ τῶν περ
Il.21.442 μέμνηαι ὅσα δὴ πάθομεν κακὰ Ἴλιον ἀμφὶ
Il.21.443 μοῦνοι νῶϊ θεῶν, ὅτ᾽ ἀγήνορι Λᾱομέδοντι
Il.21.444 πὰρ Διὸς ἐλθόντες θητεύσαμεν εἰς ἐνιαυτὸν
Il.21.445 μισθῷ ἔπι ῥητῷ· ὃ δὲ σημαίνων ἐπέτελλεν.
Il.21.446 Ἤτοι ἐγὼ Τρώεσσι πόλιν πέρι τεῖχος ἔδειμα
Il.21.447 εὐρύ τε καὶ μάλα κᾱλόν, ἵν᾽ ἄρρηκτος πόλις εἴη·
Il.21.448 Φοῖβε σὺ δ᾽ εἰλίποδας ἕλικας βοῦς βουκολέεσκες
Il.21.449 Ἴδης ἐν κνημοῖσι πολυπτύχου ὑ̄λῃέσσης.
Il.21.450 Ἀλλ᾽ ὅτε δὴ μισθοῖο τέλος πολυγηθέες ὧραι
Il.21.451 ἐξέφερον, τότε νῶϊ βιήσατο μισθὸν ἅπαντα
Il.21.452 Λᾱομέδων ἔκπαγλος, ἀπειλήσᾱς δ᾽ ἀπέπεμπε.
Il.21.453 Σὺν μὲν ὅ γ᾽ ἠπείλησε πόδας καὶ χεῖρας ὕπερθε
Il.21.454 δήσειν, καὶ περάαν νήσων ἔπι τηλεδαπᾱ́ων·
Il.21.455 στεῦτο δ᾽ ὅ γ᾽ ἀμφοτέρων ἀπολεψέμεν οὔατα χαλκῷ.
Il.21.456 Νῶϊ δὲ ἄψορροι κίομεν κεκοτηότι θῡμῷ
Il.21.457 μισθοῦ χωόμενοι, τὸν ὑποστᾱ̀ς οὐκ ἐτέλεσσε.
Il.21.458 Τοῦ δὴ νῦν λᾱοῖσι φέρεις χάριν, οὐδὲ μεθ᾽ ἡμέ͜ων
Il.21.459 πειρᾷ ὥς κε Τρῶες ὑπερφίαλοι ἀπόλωνται
Il.21.460 πρόχνυ κακῶς σὺν παισὶ καὶ αἰδοίῃς ἀλόχοισι
Il.21.461 Τὸν δ᾽ αὖτε προσέειπεν ἄναξ ἑκάεργος Ἀπόλλων·
Il.21.462 ἐννοσίγαι᾽ οὐκ ἄν με σαόφρονα μῡθήσαιο

Il.21.463 ἔμμεναι, εἰ δὴ σοί γε βροτῶν ἕνεκα πτολεμίξω
Il.21.464 δειλῶν, οἳ φύλλοισιν ἐοικότες ἄλλοτε μέν τε
Il.21.465 ζαφλεγέες τελέθουσιν ἀρούρης καρπὸν ἔδοντες,
Il.21.466 ἄλλοτε δὲ φθινύθουσιν ἀκήριοι. Ἀλλὰ τάχιστα
Il.21.467 παυώμεσθα μάχης· οἳ δ' αὐτοὶ δηριαάσθων.
Il.21.468 Ὣς ἄρα φωνήσᾱς πάλιν ἐτράπετ'· αἴδετο γάρ ῥα
Il.21.469 πατροκασιγνήτοιο μιγήμεναι ἐν παλάμῃσι.
Il.21.470 Τὸν δὲ κασιγνήτη μάλα νείκεσε πότνια θηρῶν
Il.21.471 Ἄρτεμις ἀγροτέρη, καὶ ὀνείδειον φάτο μῦθον·
Il.21.472 φεύγεις δὴ ἑκάεργε, Ποσειδᾱ́ωνι δὲ νῑ́κην
Il.21.473 πᾶσαν ἐπέτρεψας, μέλεον δέ οἱ εὖχος ἔδωκας·
Il.21.474 νηπύτιε̱ τί νυ τόξον ἔχεις ἀνεμώλιον αὔτως;
Il.21.475 Μή σευ νῦν ἔτι πατρὸς ἐνὶ μεγάροισιν ἀκούσω
Il.21.476 εὐχομένου, ὡς τὸ πρὶν ἐν ἀ̱θανάτοισι θεοῖσιν,
Il.21.477 ἄντα Ποσειδᾱ́ωνος ἐναντίβιον πολεμίζειν.
Il.21.478 Ὣς φάτο, τὴν δ' οὔ τι προσέφη ἑκάεργος Ἀπόλλων,
Il.21.479 ἀλλὰ χολωσαμένη Διὸς αἰδοίη παράκοιτις
Il.21.480 νείκεσεν ἰ̓οχέαιραν ὀνειδείοις ἐπέεσσι·
Il.21.481 πῶς δὲ σὺ νῦν μέμονας κύον ἀ̄δεὲς ἀντί' ἐμεῖο
Il.21.482 στήσεσθαι; Χαλεπή τοι ἐγὼ μένος ἀντιφέρεσθαι
Il.21.483 τοξοφόρῳ περ ἐούσῃ, ἐπεὶ σὲ λέοντα γυναιξὶ
Il.21.484 Ζεὺς θῆκεν, καὶ ἔδωκε κατακτάμεν ἥν κ' ἐθέλῃσθα.
Il.21.485 Ἤτοι βέλτερόν ἐστι κατ' οὔρεα θῆρας ἐναίρειν
Il.21.486 ἀγροτέρᾱς τ' ἐλάφους ἢ κρείσσοσιν ἶφι μάχεσθαι.
Il.21.487 Εἰ δ' ἐθέλεις πολέμοιο δαήμεναι, ὄφρ' ἐῢ εἰδῇς
Il.21.488 ὅσσον φερτέρη εἴμ', ὅτι μοι μένος ἀντιφερίζεις.
Il.21.489 Ἦ ῥα, καὶ ἀμφοτέρᾱς ἐπὶ καρπῷ χεῖρας ἔμαρπτε
Il.21.490 σκαιῇ, δεξιτερῇ δ' ἄρ' ἀπ' ὤμων αἴνυτο τόξα,
Il.21.491 αὐτοῖσιν δ' ἄρ' ἔθεινε παρ' οὔατα μειδιόωσα
Il.21.492 ἐντροπαλιζομένην· ταχέες δ' ἔκπῑπτον ὀϊστοί.

Il.21.493 Δακρυόεσσα δ’ ὕπαιθα θεᾶ φύγεν ὥς τε πέλεια,

Il.21.494 ἥ ῥά θ’ ὑπ’ ἴρηκος κοίλην εἰσέπτατο πέτρην

Il.21.495 χηραμόν· οὐδ’ ἄρα τῇ γε ἁλώμεναι αἴσιμον ἦεν·

Il.21.496 ὣς ἣ δακρυόεσσα φύγεν, λίπε δ’ αὐτόθι τόξα.

Il.21.497 Λητὼ δὲ προσέειπε διάκτορος Ἀργειφόντης·

Il.21.498 Λητοῖ ἐγὼ δέ τοι οὔ τι μαχήσομαι· ἀργαλέον δὲ

Il.21.499 πληκτίζεσθ’ ἀλόχοισι Διὸς νεφεληγερέτᾱο·

Il.21.500 ἀλλὰ μάλα πρόφρασσα μετ’ ἀ̲θανάτοισι θεοῖσιν

Il.21.501 εὔχεσθαι ἐμὲ νῑκῆσαι κρατερῆφι βίηφιν.

Il.21.502 Ὣς ἄρ’ ἔφη, Λητὼ δὲ συναίνυτο καμπύλα τόξα

Il.21.503 πεπτεῶτ’ ἄλλυδις ἄλλα μετὰ στροφάλιγγι κονίης.

Il.21.504 Ἣ μὲν τόξα λαβοῦσα πάλιν κίε θῡγατέρος ἧς·

Il.21.505 ἣ δ’ ἄρ’ Ὄλυμπον ἵκᾱνε Διὸς ποτὶ χαλκοβατὲς δῶ,

Il.21.506 δακρυόεσσα δὲ πατρὸς ἐφέζετο γούνασι κούρη,

Il.21.507 ἀμφὶ δ’ ἄρ’ ἀμβρόσιος ἑανὸς τρέμε· τὴν δὲ προτὶ οἷ

Il.21.508 εἷλε πατὴρ Κρονίδης, καὶ ἀνείρετο ἡδὺ γελάσσᾱς·

Il.21.509 τίς νύ σε τοιάδ’ ἔρεξε φίλον τέκος Οὐρανιώνων

Il.21.510 μαψιδίως, ὡς εἴ τι κακὸν ῥέζουσαν ἐνωπῇ;

Il.21.511 Τὸν δ’ αὖτε προσέειπεν ἐϋστέφανος κελαδεινή·

Il.21.512 σή μ’ ἄλοχος στυφέλιξε πάτερ λευκώλενος Ἥρη,

Il.21.513 ἐξ ἧς ἀ̲θανάτοισιν ἔρις καὶ νεῖκος ἐφῆπται.

Od.8.266 αὐτὰρ ὁ φορμίζων ἀνεβάλλετο κα̲λὸν ἀείδειν

Od.8.267 ἀμφ΄ Ἄρεος φιλότητος ἐϋστεφάνου τ΄ Ἀφροδι̲της,

Od.8.268 ὡς τὰ πρῶτ’ ἐμίγησαν ἐν Ἡφαίστοιο δόμοισι

Od.8.269 λάθρῃ· πολλὰ δὲ δῶκε, λέχος δ’ ᾔσχῡνε καὶ εὐνὴν

Od.8.270 Ἡφαίστοιο ἄνακτος. Ἄφαρ δέ οἱ ἄγγελος ἦλθεν

Od.8.271 Ἥλιος, ὅ σφ’ ἐνόησε μιγαζομένους φιλότητι.

Od.8.272 Ἥφαιστος δ’ ὡς οὖν θῡμαλγέα μῦθον ἄκουσε,

Od.8.273 βῆ ῥ’ ἴμεν ἐς χαλκεῶνα, κακὰ φρεσὶ βυσσοδομεύων·

Od.8.274 ἐν δ᾽ ἔθετ᾽ ἀκμοθέτῳ μέγαν ἄκμονα, κόπτε δὲ δεσμοὺς
Od.8.275 ἀρρήκτους ἀλύτους, ὄφρ᾽ ἔμπεδον αὖθι μένοιεν.
Od.8.276 Αὐτὰρ ἐπεὶ δὴ τεῦξε δόλον κεχολωμένος Ἄ̱ρει,
Od.8.277 βῆ ῥ᾽ ἴμεν ἐς θάλαμον, ὅθι οἱ φίλα δέμνια κεῖτο·
Od.8.278 ἀμφὶ δ᾽ ἄρ᾽ ἑρμῖσιν χέε δέσματα κύκλῳ ἁπάντῃ,
Od.8.279 πολλὰ δὲ καὶ καθύπερθε μελαθρόφιν ἐξεκέχυντο,
Od.8.280 ἠΰτ᾽ ἀράχνια λεπτά· τά γ᾽ οὔ κέ τις οὐδὲ ἴδοιτο,
Od.8.281 οὐδὲ θεῶν μακάρων· περὶ γὰρ δολόεντα τέτυκτο.
Od.8.282 Αὐτὰρ ἐπεὶ δὴ πάντα δόλον περὶ δέμνια χεῦεν,
Od.8.283 εἴσατ᾽ ἴμεν ἐς Λῆμνον, ἐϋκτίμενον πτολίεθρον,
Od.8.284 ἥ οἱ γαιά̱ων πολὺ φιλτάτη ἐστὶν ἁπᾱσέω̱ν.
Od.8.285 Οὐδ᾽ ἀλαὸς σκοπιὴν εἶχε χρῡσήνιος Ἄ̱ρης,
Od.8.286 ὡς ἴδεν Ἥφαιστον κλυτοτέχνην νόσφι κιόντα·
Od.8.287 βῆ δ᾽ ἴμεναι πρὸς δῶμα περικλυτοῦ Ἡφαίστοιο,
Od.8.288 ἰ̂χανόων φιλότητος ἐϋστεφάνου Κυθερείης.
Od.8.289 Ἡ δὲ νέον παρὰ πατρὸς ἐρισθενέος Κρονίωνος
Od.8.290 ἐρχομένη κατ᾽ ἄρ᾽ ἕζεθ᾽· ὁ δ᾽ εἴσω δώματος ᾔει
Od.8.291 ἔν τ᾽ ἄρα οἱ φῦ χειρὶ ἔπος τ᾽ ἔφατ᾽ ἔκ τ᾽ ὀνόμαζε·
Od.8.292 « δεῦρο, φίλη, λέκτρονδε, τραπείομεν εὐνηθέντε·
Od.8.293 οὐ γὰρ ἔθ᾽ Ἥφαιστος μεταδήμιος, ἀλλά που ἤδη
Od.8.294 οἴχεται ἐς Λῆμνον μετὰ Σίντιας ἀγριοφώνους. »
Od.8.295 Ὣς φάτο, τῇ δ᾽ ἀσπαστὸν ἐείσατο κοιμηθῆναι.
Od.8.296 Τὼ δ᾽ ἐς δέμνια βάντε κατέδραθον· ἀμφὶ δὲ δεσμοὶ
Od.8.297 τεχνήεντες ἔχυντο πολύφρονος Ἡφαίστοιο,
Od.8.298 οὐδέ τι κῑνῆσαι μελέων ἦν οὐδ᾽ ἀναεῖραι.
Od.8.299 Καὶ τότε δὴ γίνωσκον, ὅ τ᾽ οὐκέτι φυκτὰ πέλοντο.
Od.8.300 Ἀγχίμολον δέ σφ᾽ ἦλθε περικλυτὸς ἀμφιγυήεις,
Od.8.301 αὖτις ὑποστρέψᾱς πρὶν Λήμνου γαῖαν ἱκέσθαι·
Od.8.302 Ἠέλιος γά̱ρ οἱ σκοπιὴν ἔχεν εἶπέ τε μῦθον.
Od.8.303 [βῆ δ᾽ ἴμεναι πρὸς δῶμα, φίλον τετιημένος ἦτορ·]

Od.8.304 ἔστη δ᾽ ἐν προθύροισι, χόλος δέ μιν ἄγριος ᾕρει·
Od.8.305 σμερδαλέον δ᾽ ἐβόησε γέγωνέ τε πᾶσι θεοῖσι·
Od.8.306 « Ζεῦ πάτερ ἠδ᾽ ἄλλοι μάκαρες θεοὶ αἰὲν ἐόντες,
Od.8.307 δεῦθ᾽, ἵνα ἔργ᾽ ἀγέλαστα καὶ οὐκ ἐπιεικτὰ ἴδησθε,
Od.8.308 ὡς ἐμὲ χωλὸν ἐόντα Διὸς θυγάτηρ Ἀφροδίτη
Od.8.309 αἰὲν ἀτῑμάζει, φιλέει δ᾽ ἀΐδηλον Ἄρηα,
Od.8.310 οὕνεχ᾽ ὁ μὲν κᾱλός τε καὶ ἀρτίπος, αὐτὰρ ἐγώ γε
Od.8.311 ἠπεδανὸς γενόμην· ἀτὰρ οὔ τί μοι αἴτιος ἄλλος,
Od.8.312 ἀλλὰ τοκῆε δύω, τὼ μὴ γείνασθαι ὄφελλον.
Od.8.313 Ἀλλ᾽ ὄψεσθ᾽, ἵνα τώ γε καθεύδετον ἐν φιλότητι,
Od.8.314 εἰς ἐμὰ δέμνια βάντες· ἐγὼ δ᾽ ὁρόων ἀκάχημαι.
Od.8.315 Οὐ μέν σφεας ἔτ᾽ ἔολπα μίνυνθά γε κειέμεν οὕτω,
Od.8.316 καὶ μάλα περ φιλέοντε· τάχ᾽ οὐκ ἐθελήσετον ἄμφω
Od.8.317 εὕδειν· ἀλλά σφωε δόλος καὶ δεσμὸς ἐρύξει,
Od.8.318 εἰς ὅ κέ μοι μάλα πάντα πατὴρ ἀποδῷσιν ἔεδνα,
Od.8.319 ὅσσα οἱ ἐγγυάλιξα κυνώπιδος εἵνεκα κούρης,
Od.8.320 οὕνεκά οἱ κᾱλὴ θυγάτηρ, ἀτὰρ οὐκ ἐχέθῡμος. »
Od.8.321 Ὣς ἔφαθ᾽, οἱ δ᾽ ἀγέροντο θεοὶ ποτὶ χαλκοβατὲς δῶ·
Od.8.322 ἦλθε Ποσειδᾱ́ων γαιήοχος, ἦλθ᾽ ἐριούνης
Od.8.323 Ἑρμείᾱς, ἦλθεν δὲ ἄναξ ἑκάεργος Ἀπόλλων.
Od.8.324 Θηλύτεραι δὲ θεαὶ μένον αἰδόϊ οἴκοι ἑκάστη.
Od.8.325 Ἔσταν δ᾽ ἐν προθύροισι θεοί, δωτῆρες ἑᾱ́ων·
Od.8.326 ἄσβεστος δ᾽ ἄρ᾽ ἐνῶρτο γέλως μακάρεσσι θεοῖσι
Od.8.327 τέχνᾱς εἰσορόωσι πολύφρονος Ἡφαίστοιο.
Od.8.328 Ὧδε δέ τις εἴπεσκεν ἰδὼν ἐς πλησίον ἄλλον·
Od.8.329 « οὐκ ἀρετᾷ κακὰ ἔργα· κιχᾱ́νει τοι βραδὺς ὠκύν,
Od.8.330 ὡς καὶ νῦν Ἥφαιστος ἐὼν βραδὺς εἷλεν Ἄρηα,
Od.8.331 ὠκύτατόν περ ἐόντα θεῶν, οἳ Ὄλυμπον ἔχουσι,
Od.8.332 χωλὸς ἐών, τέχνῃσι· τὸ καὶ μοιχάγρι᾽ ὀφέλλει. »
Od.8.333 Ὣς οἱ μὲν τοιαῦτα πρὸς ἀλλήλους ἀγόρευον·

Od.8.334 Ἑρμῆν δὲ προσέειπεν ἄναξ Διὸς υἱὸς Ἀπόλλων·

Od.8.335 « Ἑρμείᾱ Διὸς υἱέ, διάκτορε, δῶτορ ἑᾱ́ων,

Od.8.336 ἦ ῥά κεν ἐν δεσμοῖσ’ ἐθέλοις κρατεροῖσι πιεσθεὶς

Od.8.337 εὕδειν ἐν λέκτροισι παρὰ χρῡσῇ Ἀφροδῑ́τῃ; »

Od.8.338 Τὸν δ’ ἠμείβετ’ ἔπειτα διάκτορος Ἀργεϊφόντης·

Od.8.339 « αἲ γὰρ τοῦτο γένοιτο, ἄναξ ἑκατηβόλ’ Ἄπολλον.

Od.8.340 Δεσμοὶ μὲν τρὶς τόσσοι ἀπείρονες ἀμφὶς ἔχοιεν,

Od.8.341 ῡ̔μεῖς δ’ εἰσορόῳτε θεοὶ πᾶσαί τε θέαιναι,

Od.8.342 αὐτὰρ ἐγὼν εὕδοιμι παρὰ χρῡσῇ Ἀφροδῑ́τῃ. »

Od.8.343 Ὣς ἔφατ’, ἐν δὲ γέλως ὦρτ’ ἀ̲θανάτοισι θεοῖσιν.

Od.8.344 Οὐδὲ Ποσειδᾱ́ωνα γέλως ἔχε, λίσσετο δ’ αἰεὶ

Od.8.345 Ἥφαιστον κλυτοεργόν, ὅπως λῡ́σειεν Ἄρηα·

Od.8.346 καί μιν φωνήσᾱς ἔπεα πτερόεντα προσηύδᾱ·

Od.8.347 « λῦσον· ἐγὼ δέ τοι αὐτὸν ὑπίσχομαι, ὡς σὺ κελεύεις,

Od.8.348 τείσειν αἴσιμα πάντα μετ’ ἀ̲θανάτοισι θεοῖσι· »

Od.8.349 τὸν δ’ αὖτε προσέειπε περικλυτὸς ἀμφιγυήεις·

Od.8.350 « μή με, Ποσείδᾱον γαιήοχε, ταῦτα κέλευε·

Od.8.351 δειλαί τοι δειλῶν γε καὶ ἐγγύαι ἐγγυάασθαι.

Od.8.352 Πῶς ἂν ἐγώ σε δέοιμι μετ’ ἀ̲θανάτοισι θεοῖσιν,

Od.8.353 εἴ κεν Ἄρης οἴχοιτο χρέος καὶ δεσμὸν ἀλύξᾱς; »

Od.8.354 Τὸν δ’ αὖτε προσέειπε Ποσειδᾱ́ων ἐνοσίχθων·

Od.8.355 « Ἥφαιστ’, εἴ περ γάρ κεν Ἄρης χρεῖος ὑπαλύξας

Od.8.356 οἴχηται φεύγων, αὐτός τοι ἐγὼ τάδε τείσω. »

Od.8.357 Τὸν δ’ ἠμείβετ’ ἔπειτα περικλυτὸς ἀμφιγυήεις·

Od.8.358 « οὐκ ἔστ’ οὐδὲ ἔοικε τεὸν ἔπος ἀρνήσασθαι. »

Od.8.359 Ὣς εἰπὼν δεσμὸν ἀνίει μένος Ἡφαίστοιο.

Od.8.360 Τὼ δ’ ἐπεὶ ἐκ δεσμοῖο λύθεν, κρατεροῦ περ ἐόντος,

Od.8.361 αὐτίκ’ ἀνα̲ΐξαντε ὁ μὲν Θρῄκηνδε βεβήκει,

Od.8.362 ἡ δ’ ἄρα Κύπρον ἵκᾱνε φιλομμειδὴς Ἀφροδῑ́τη,

Od.8.363 ἐς Πάφον, ἔνθά τέ οἱ τέμενος βωμός τε θυήεις.

Od.8.364 Ἔνθα δέ μιν Χάριτες λοῦσαν καὶ χρῖσαν ἐλαίῳ,

Od.8.365 ἀμβρότῳ, οἷα θεοὺς ἐπενήνοθεν αἰὲν ἐόντας,

Od.8.366 ἀμφὶ δὲ εἵματα ἕσσαν ἐπήρατα, θαῦμα ἰδέσθαι.

Od.8.367 Ταῦτ᾽ ἄρ᾽ ἀοιδὸς ἄειδε περικλυτός· αὐτὰρ Ὀδυσσεὺς

Od.8.368 τέρπετ᾽ ἐνὶ φρεσὶν ᾗσιν ἀκούων ἠδὲ καὶ ἄλλοι

Od.8.369 Φαίηκες δολιχήρετμοι, ναυσικλυτοὶ ἄνδρες.